# 175. THE BETRAYAL AND ARREST (Mk-Lk Identical)

| Mark 14:43-52 | Luke 22:47-53 |
| --- | --- |
| Καὶ εὐθὺς | |
| ἔτι αὐτοῦ λαλοῦντος | Ἔτι αὐτοῦ λαλοῦντος |
| | ἰδοὺ ὄχλος, |
| παραγίνεται Ἰούδας | καὶ ὁ λεγόμενος Ἰούδας |
| εἷς τῶν δώδεκα | εἷς τῶν δώδεκα |
| καὶ μετ αὐτοῦ ὄχλος | προήρχετο αὐτούς, |
| μετὰ μαχαιρῶν καὶ ξύλων | |
| παρὰ τῶν ἀρχιερέων | |
| καὶ τῶν γραμματέων | |
| καὶ τῶν πρεσβυτέρων. | |
| 44 δεδώκει δὲ ὁ παραδιδοὺς | |
| αὐτὸν σύσσημον αὐτοῖς λέγων, | |
| Ὃν ἂν φιλήσω αὐτός ἐστιν· | |
| κρατήσατε αὐτὸν | |
| καὶ ἀπάγετε ἀσφαλῶς. | |
| 45 καὶ ἐλθὼν εὐθὺς προσελθὼν | καὶ ἤγγισεν |
| αὐτῷ | τῷ Ἰησοῦ |
| λέγει, Ῥαββί, | |
| καὶ κατεφίλησεν αὐτόν. | φιλῆσαι αὐτόν. |
| | 48 Ἰησοῦς δὲ εἶπεν αὐτῷ, |
| | Ἰούδα, φιλήματι τὸν υἱὸν τοῦ ἀνθρώπου παραδίδως |
| 46 οἱ δὲ ἐπέβαλον | |
| τὰς χεῖρας αὐτῷ | |
| καὶ ἐκράτησαν αὐτόν. | |
| | 49 ἰδόντες δὲ οἱ περὶ αὐτὸν τὸ ἐσόμενον εἶπαν, Κύριε, εἰ πατάξομεν ἐν μαχαίρῃ |
| 47 εἷς δέ τις τῶν παρεστηκότων | 50 καὶ ἐπάταξεν εἷς τις ἐξ αὐτῶν |
| σπασάμενος τὴν μάχαιραν | |
| ἔπαισεν | |
| τὸν δοῦλον τοῦ ἀρχιερέως | τοῦ ἀρχιερέως τὸν δοῦλον |
| καὶ ἀφεῖλεν | καὶ ἀφεῖλεν |
| αὐτοῦ τὸ ὠτάριον. | τὸ οὖς αὐτοῦ τὸ δεξιόν. |
| | 51 ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν, |

| | |
|---|---|
| | Ἐᾶτε ἕως τούτου· καὶ ἁψάμενος τοῦ ὠτίου ἰάσατο αὐτόν. |
| 48 καὶ ἀποκριθεὶς | |
| ὁ Ἰησοῦς εἶπεν | 52 εἶπεν δὲ Ἰησοῦς |
| αὐτοῖς, | πρὸς τοὺς παραγενομένους ἐπ αὐτὸν ἀρχιερεῖς καὶ στρατηγοὺς τοῦ ἱεροῦ καὶ πρεσβυτέρους, |
| Ὡς ἐπὶ λῃστὴν ἐξήλθατε | Ὡς ἐπὶ λῃστὴν ἐξήλθατε |
| μετὰ μαχαιρῶν καὶ ξύλων | μετὰ μαχαιρῶν καὶ ξύλων |
| συλλαβεῖν με | |
| 49 καθ ἡμέραν | 53 καθ ἡμέραν |
| ἤμην πρὸς ὑμᾶς | ὄντος μου μεθ ὑμῶν |
| ἐν τῷ ἱερῷ | ἐν τῷ ἱερῷ |
| διδάσκων | |
| καὶ οὐκ ἐκρατήσατέ με· | οὐκ ἐξετείνατε τὰς χεῖρας |
| | ἐπ ἐμέ· |
| | ἀλλ αὕτη ἐστὶν ὑμῶν ἡ ὥρα |
| | καὶ ἡ ἐξουσία τοῦ σκότους. |
| ἀλλ ἵνα πληρωθῶσιν | |
| αἱ γραφαί. | |
| 50 καὶ | |
| ἀφέντες αὐτὸν ἔφυγον πάντες. | |
| 51 Καὶ νεανίσκος τις συνηκολούθει αὐτῷ περιβεβλημένος σινδόνα ἐπὶ γυμνοῦ, καὶ κρατοῦσιν αὐτόν· 52 ὁ δὲ καταλιπὼν τὴν σινδόνα γυμνὸς ἔφυγεν. | |

68 matches out of 262 words =26%